Χρήσειτε φωνὰν χοιρείων μυστηρικῶν.
Εγὼν δὲ καρυξῶ γε Δικαιόπολιν, ὅπα
Δικαιόπολις; ἢ λῇς πρίασθαι χοιρία;

A *Coissate, & porcarum vocem emittite,*
*Quasi mysticam: ego accersam Dicæopolin, ubi*
*Dicæopolis? an porcas tibi mercari lubet?*

Σχόλια. Αγορὰν Αθάναις.] ἔρχεται Μεγαρεὺς λις. οἰκεία δὲ πάνυ ἔννοια, καὶ οἴκτου μεστή. πεινῶν γὰρ ἥκει, καὶ τὰς θυγατέρας πωλεῖ διὰ τὸν λιμὸν εἰς χοίρους αὐτὰς μετασχηματίσας. Επόθουν τυ ναὶ τὸν φίλιον.] νὴ τὸν φίλιον Δία, ἐπόθουν σε ὥσπερ μητέρα. Αμβᾶτε.] ἀνάβητε, ἐμφαντικῶς διὰ τὸν λιμὸν ἐδήλωσεν εἰπὼν, ἐμβᾶτε πρὸς τὴν μάζαν. οἱ Μεγαρεῖς δὲ τρέπουσι τὸ ζ, εἰς δύο δ.

Bisetus. Ποτάν] Μεγαρικῶς, καὶ Δωρικῶς, ἀντὶ τοῦ πρὸς τήν. ποτέχετε, προσέχετε. χρήδδετε, χρῄζετε, ἤγουν ἐθέλετε. τὸ πρέπον ἐνταῦθα τηρεῖται. καὶ γὰρ ὁ Μεγαρεὺς μεγαρεϊστὶ, καὶ Δωριεὺς δωριστὶ λαλεῖ, καὶ τὰ τῶν πεινώντων, καὶ πτωχευόντων ἤθη καλῶς ἡμῖν χαρακτηρίζεται.

Σχόλια. Ακούετον δή ποτ'.] παρὰ προσδοκίαν. δέον γὰρ εἰπεῖν προσέχετε ἡμῖν τὸν νοῦν, ἔφη τὴν γαστέρα. ἐπὶ τῶν πεινώντων. ταῦτα δὲ λέγει ὁ Μεγαρεὺς, πρὸς τὰς ἑαυτοῦ θυγατέρας, ἃς ἤγαγεν ἐπὶ τὸ πωλῆσαι διὰ τὸν λιμόν. μικρὰ δὲ ἡ ἔννοια τῷ ποιητῇ. Εγώνγα καὐτὸς φαμι.] καὶ ἐγὼ αὐτὸς τοῦτο σύμφημι.

Bisetus. Ος ὑμέ κα πρίαιτο.] ὑμᾶς ἂν πρίαιτο. τὸ γὰρ ὑμὲ ἀντὶ τοῦ ὑμᾶς. τὸ δὲ κα, ἀντὶ τοῦ κε, εἴτε κεν, ἤγουν ἄν.

Σχόλια. Φανερὰν ζαμίαν.] ἐπεὶ κόραι ἦσαν καὶ οὐ χοῖροι. ἡ τούτων δὲ φροντὶς καὶ δαπάνη πολλή ἐστιν. Μεγαρικά τις μηχανά.] ἀντὶ τοῦ πονηρὰ πανοῦργος μηχανή. διεβάλλοντο γὰρ ἐπὶ πονηρίᾳ οἱ Μεγαρεῖς. ἄλλα μὲν λέγοντες. ἄλλα δὲ ποιοῦντες. Χοίρους γὰρ ὑμὲ σκευάσας.] τοὺς παρ' ὑμῖν νῦν λεγομένους δέλφακας. λέγω δὴ τοὺς μικροὺς σῦς. οὓς οἱ ἀρχαῖοι χοίρους ἐκάλουν. Ομηρος.

Εσθιε νῦν ὦ ξεῖνε τά τε δμώεσσι πάρεστι.
Χοίρεα. ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσιν.

ἐκάλουν δὲ τοὺς μεγάλους χοίρους δέλφακας. ἐν γοῦν τοῖς ἑξῆς φησι. νεαρὰ γάρ ἐστιν. ἀλλὰ δελφακουμένα ἕξει μεγάλα.

Bisetus. Χοίρους] Εὐστάθιος. τῶν συῶν τὰ ἁπαλὰ, καὶ νεογνὰ, χοῖροι λέγονται, καὶ τὴν θήλειαν σῦν, χοῖρον λέγουσιν οἱ Ιωνες. καὶ χοῖρος ὁμωνύμως τὸ γυναικεῖον αἰδοῖον. δέλφακες δὲ, οἱ νέοι χοῖροι. κατὰ δέ τινας οἱ ἄρρενες, καὶ ἤδη τέλειοι. κυρίως δὲ αἱ θήλειαι οὕτω λέγονται ὡς δελφύας, ἤγουν μήτρας ἔχουσαι.

B Σχόλια. Τὰς ὁπλὰς τῶν χοιρείων.] οὐ μόνον Αριστοφάνης ἐπὶ τῶν χοίρων τὰς ὁπλὰς εἴρηκεν. ἀλλὰ καὶ Σιμωνίδης ὁμοίως ἐπὶ χοίρου. ὁπλὰς αἰνεῖ τῶν ὀπισθίων ποδῶν. καὶ Ησίοδος ἐπὶ βοῶν. μήτ' ἄρ' ὑπερβάλλων βοὸς ὁπλήν. καὶ τὸ ἐναντίον ἐπὶ τοῦ ἵππου, νύσσοντες χηλῇσιν. Εξ ἀγαθᾶς γὰρ ὗς.] τὴν ἐπὶ θηλείας. σῦν δὲ ἐπὶ ἄρρενος. κέχρηται δὲ καὶ ἐπὶ ἄρρενος. Εἴπερ ἵξετ' οἴκαδες.] ἐκ δευτέρου εἰς τὸν οἶκον ἀφίξεσθε, τοῦ πρώτης πειραθήσεσθε λιμοῦ. Δωριεῖς δὲ, θῆλυ λέγουσι τὴν λιμόν. τὰ πρῶτα δὲ ἤγουν τὰς ἄκρας. Ρυγχα.] τὰ ῥυγχία κυρίως ἔφη. ἐπὶ γὰρ χοίρου λέγεται ῥύγχος. ἄμεινον δὲ ἀντὶ τοῦ γράφειν ταδὶ, τὰ δή. δωρίζει γάρ. γρυλλίξεῖτε δὲ, δίκην χοίρων βοήσετε. κοΐ δὲ ποιὰ τῶν δελφακίων φωνή. Χοιρείων μυστηρικῶν.] ὅτι ἐν τοῖς μυστηρίοις τῆς Δήμητρος χοῖρος θύεται. ἀνάκειται γὰρ τὸ ζῶον τῇ θεῷ. ἕκαστος δὲ τῶν θυομένων, ὑπὲρ ἑαυτοῦ ἔθυεν. ταῦτα δὲ καλεῖται μυστήρια.

Bisetus. Χοιρείων μυστηρικῶν.] Αλλὰ νῦν ἀνάγκη ταῦτα τὰ δωρικὰ ῥήματα ἅπαξ δηλῶσαι, μὴ ἐν τοῖς ἑξῆς ταυτολογῶμεν. τὸ μὲν οὖν ἦμεν, ἀντὶ τοῦ εἶναι. πράτα, πρῶτα. κἤπειτα, καὶ ἔπειτα. χρήσειτε, καὶ ἥσεῖτε. οἱ Δωριεῖς περισπᾶν εἰώθασι καὶ τοὺς προτέρους μέλλοντας. οὕτω γὰρ κοινῶς, τύψω, εις, ει, ετον. δωρικῶς δὲ, τυψῶ, εῖς, εῖ, εῖτον. καὶ οὕτως ἐν τοῖς λοιποῖς. τὰ δὲ πρῶτα πρόσωπα πληθυντικὰ τὰ κοινῶς εἰς μεν λήγοντα, διὰ τοῦ μες ἐκφέρουσιν, οἷον, ἥκομεν, ἥκομες, καὶ τὸ κοινὸν οἴκαδε, λέγουσιν οἴκαδες. τὸ δὲ καρυξῶ, ἀντὶ τοῦ κηρύξω. τὸ δὲ λῇς, ἀντὶ τοῦ ἐθέλεις. ποττὸ, πρὸς τὸ, οὕτω δὲ σχηματίζεται. πρὸς, προτὶ, ποτὶ, ποτί. ποττὸ πῦρ, ποτὶ τὸ πῦρ, κατὰ συγκοπήν. ποττὸν Δία, πρὸς τὸν Δία. ὅκα δὲ, ὅτε, ἐπίρρημα χρονικόν. μέν γα, μέν γε. τηνόθεν, ἐκεῖθεν. τῆνος, ἐκεῖνος. ἐμπορευόμαν, ἐμπορευόμην.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ

### Σκηνὴ τρίτη.

ΔΙΚΑΙΟΠΟΛΙΣ. ΜΕΓΑΡΕΥΣ, ΚΟΡΑΙ.

Δι. Τί ἀνὴρ Μεγαρικός; Με. ἀγοράσοντες ἥκομες.
Δι. Πῶς ἔχετε; Με. διαπεινᾶμες ἀεὶ ποττὸ πῦρ.
Δι. Αλλ' ἡδύ τοι νὴ τὸν Δί' ἢν αὐλὸς παρῇ.
Τί δ' ἄλλο πράττεθ' οἱ Μεγαρεῖς νῦν; Με. οἷα δή.
Αλλὰ γὰρ ὅκα μὲν γα τηνόθεν ἐμπορευόμαν,
Ανδρες πρόβουλοι τοῦτ' ἔπραττον τῇ πόλει,
Οπως τάχιστα καὶ κάκιστ' ἀπολοίμεθα.
Δι. Αὐτίκ' ἄρ' ἀπαλλάξεσθε πραγμάτων. Με. σαμάν.

## ACTUS III. SCENA

### tertia.

F DICÆOPOLIS, MEGARICUS, PUELLÆ.

*DI. Quid Megaricus? ME. negociatum venimus.*
*DI. Quomodo valetis? ME. esurimus apud focos.*
*DI. At suaue hoc, si tibicen adsit, per Iouem.*
*Quid aliud geritis vos Megarenses? MEG. hoc*
G *quidem.*
*Sed quando illinc discessimus, primarij*
*In urbe consules hoc faciebant, uti*
*Pereamus & celerrimè, & deterrimè.*
*DI. Citò ergo liberabimini à malis. MEG. cedò.*